eul_wid: brw-ai

*Βακχυλίδης ὁ Κεῖος* · Bacchylides of Ceos

# Victory Odes

*Νίκαι Ὠδαί*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Κλυτοφόρμιγγες Δ[ιὸς ὑ-]
book 1.2 ψιμέδοντος πα[ρθέ]νοι,
book 1.3 [– Πι]ερίδες [–]
book 1.4 [–]ενυφαι[––]
book 1.5.1 [–]ους, ἵνα κ[––]
book 1.5.2 [–]γαίας Ἰσθμί[ας]
book 1.5.3 [––]ν, εὐβούλου ν[–]
book 1.1 [– γαμ]βρὸν Νηρέ[ος]
book 1.2 [–] νάσοιό τ' ἐϋ-
book 1.10.1 [ ]αν, ἔνθ[––]
book 1.10.2 ____
book 1.10.3 ____
book 1.10.4 ὦ Πέλοπος λιπαρᾶς
book 1.10.5 νάσου θεόδματοι πύλαι
book 1.15-16 (desunt cola duo antistrophae)
book 1.17-18 (desunt cola duo epodi)
book 1.19 [–––– ὑφ' ἅρ]μασιν ἵππους·
book 1.20.1 [οἱ δὲ π]έτοντο.[––]
book 1.20.2 [–––]εσσιν ἀν[–]
book 1.20.3 [––]τον αὐτ[–]
book 1.20.4 [––]ἄλλαισιν [–––––]
book 1.20.5 [–––]ν δ' ετε[–]
book 1.25.1 [–]γονώτ[–]
book 1.25.2 [ ]πλ[ ]
book 1.27-31 (desunt cola quinque strophae)

book 1.32-34 (desunt cola tria antistrophae)
book 1.35.1 [–––]τα̣
book 1.35.2 ____
book 1.35.3 [–––]εμεν, ὅταν
book 1.35.4 [––––]τει συνευ-
book 1.35.5 [––––]ας
book 1.40-45 (desunt cola sex epodi)
book 1.46.1 [––––]εοσ[––––]
book 1.46.2 [–––]ν πυκ[ιν-]
book 1.46.3 [––]γοὶ κόρ[αι]
book 1.46.4 [––]αγορα [–]
book 1.1 [–]ο μελίφρονος ὕπ[νου]
book 1.2 [– ἁμετ]έραν [–]
book 1.3 [– ἀρ]χαίαν πόλιν
book 1.4 [––––]γοιμεν οἴ-
book 1.5 [κους ἐπ’] ἀνδήροις ἁλὸς
book 1.55.1 [ὑπό τ’ α]ὐγαῖς ἀελίου
book 1.55.2 [ ]ιδ[ ]
book 1.57-62 (desunt cola sex antistrophae)
book 1.63-69 (deest epodus tertia)
book 1.70.1 [––]ελεων
book 1.70.2 [ ]των
book 1.70.3 [––]σαγόρα̣ [–]
book 1.70.4 [– Μα]κελὼ δὲ τ[–]
book 1.70.5 [– φιλ]αλάκατος, [ –]
book 1.75.1 [–] δ’ ἐπ’ εὐναῆ [πόρον]
book 1.75.2 [––]α· προσφώνει τέ νιν
book 1.75.3 [––] σαίνους’ ὀπί·
book 1.75.4 [–– μ]ὲν στέρομαι
book 1 [ ἀμ]φάκει δύα̣
book 1.80.1 [–– π]ενία̣ [–]
book 1.80.2 [––].΄ γετ[.] πάμπα[ν]
book 1.80.3 [––]ας [–]
book 1.80.4 [––––]ομοι
book 1.84-85 (desunt cola duo antistrophae)
book 1.86-104 (desunt epodus quarta, quinta stropha et quattuor cola antistrophae
book 1.86-105 quintae)
book 1.105.1 τοῖον[–––]
book 1.105.2

καλ[–––]
book 1.107-108 (desunt cola duo antistrophae)
book 1.109-110 (desunt cola duo epodi)
book 1.111.1 [–]αφθε[––––]
book 1.111.2 [–]ς· τριτάτᾳ μετ[––]
book 1.111.3 [ἀμ]έρᾳ Μίνως ἀρ[ῆ]ος
book 1.111.4 [ἤλ]υθεν αἰολοπρύμνοις
book 1.115.1 ναυσὶ πεντήκοντα σὺν Κρητῶν ὁμίλῳ·
book 1.115.2 Διὸς Εὐκλείου δὲ ἕκα-
book 1.115.3 τι βαθύζωνον κόραν
book 1.115.4 Δεξιθέαν δάμασεν· [κα]ί
book 1.115.5 οἱ λίπεν ἥμισυ λ[α]ῶν,
book 1.120.1 [ἄ]νδρας ἀρηϊφίλους, [το]ῖ-
book 1.120.2 σιν πολύκρημνον χθόνα
book 1.120.3 νείμας ἀποπλέων ᾤ[χε]τ’ ἐς
book 1.1 Κνωσὸν ἱμερτὰν [πό]λιν
book 1.2 [β]ασιλεὺς Εὐρωπιά[δας]·
book 1.125.1 δεκάτῳ δ’ Εὐξ[άντι]ον
book 1.125.2 [μηνὶ τέ]κ’ εὐπλόκ[αμος νύμ-]
book 1.125.3 [φα φερ]εκυδέϊ [νάσῳ]
book 1.125.4 [––] πρύτα[νιν –]
book 1.125.5 [––κ]εδν[––]
book 1.130-131 (desunt cola duo antistrophae)
book 1.132-137 (desunt cola sex epodi)
book 1.138.1 [––––––]ξαν θύγατρες
book 1.138.2 πόλ[ιν –––]ν βαθυδεί-
book 1.140.1 ελον· [ἐκ το]ῦ μὲν γένος
book 1.140.2 ἔπλε[το καρτε]ρόχειρ Ἀρ-
book 1.140.3 γεῖο[ς –] λέοντος
book 1.140.4 θυμὸ[ν ἔχων], ὁπότε χρει-
book 1.140.5 [––]βολοῖ μάχας
book 1.145.1 ποσσί[ν τ’ ἐλα]φρό[ς, π]ατρίων
book 1.145.2 τ’ οὐκ [––– κ]αλῶν,
book 1.145.3 τόσα Παν[θείδᾳ κλυτό]το-
book 1.145.4 ξος Ἀπό[λλων ὤπασε]ν,
book 1.145.5 ἀμφί τ’ ἰατο[ρίᾳ] ξεί-
book 1.1 νων τε [φι]λάνορι τ[ι]μᾷ·
book 1.2 [ε]ὖ δὲ λαχὼν [Χ]αρίτων πολ-
book 1.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λοῖς τε θ[αυ]μασθεὶς βροτῶν,
αἰῶν’ ἔλυσεν [π]έντε παῖ-
δας μεγαινή[το]υς λιπών.
[Τ]ῶν ἕνα οἱ Κ[ρο]νίδας ὑ-
ψίζυγος Ἰσ[θ]μιόνικον
θῆκεν ἀντ’ [εὐε]ργεσιᾶν, λιπαρῶν τ’ ἄλ-
λων στεφάν[ων] ἐπίμοιρον.
Φαμὶ καὶ φάσω μέγιστον
κῦδος ἔχειν ἀρετάν· πλοῦ-
τος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ,
ἐθέλει δ’ αὔξειν φρένας ἀν-
δρός· ὁ δ’ εὖ ἔρδων θεοὺς
ἐλπίδι κυδροτέρᾳ σαί-
νει κέαρ. Εἰ δ’ ὑγιείας
θνατὸς ἐὼν ἔλαχεν ζώ-
ειν τ’ ἀπ’ οἰκείων ἔχει,
πρώτοις ἐρίζει· παντί τοι
τέρψις ἀνθρώπων βίῳ
ἕπεται νόσφιν γε νόσων
πενίας τ’ ἀμαχάνου.
Ἶσον ὅ τ’ ἀφνεὸς ἱμεί-
ρει μεγάλων ὅ τε μείων
παυροτέρων· τὸ δὲ πάντων
εὐμαρεῖν οὐδὲν γλυκὺ
θνατοῖσιν, ἀλλ’ αἰεὶ τὰ φεύ-
γοντα δίζηνται κιχεῖν.
Ὅντινα κουφόταται θυ-
μὸν δονέουσι μέριμναι,
ὅσσον ἂν ζώῃ χρόνον, τόνδ’ ἔλαχαν τι-
μάν. Ἀρετὰ δ’ ἐπίμοχθος
[μέν, τ]ελευταθεῖσα δ’ ὀρθῶς
[ἀνδρὶ κ]αὶ εὖτε θάνῃ λεί-
π[ει πολυ]ζήλωτον εὐκλείας ἄ[γαλ]μα.
Ἄ[ϊξον, ὦ] σεμνοδότειρα Φήμα,
ἐς Κ[έον ἱ]εράν, χαριτώ-
νυμ[ον] φέρους’ ἀγγελίαν,
ὅτι μ[ά]χας θρασύχειρ〈οσ〉 Ἀρ-
γεῖο[ς ἄ]ρατο νίκαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλῶν δ’ ἀνέμνασεν ὅς’ ἐν κλε[εν]νῷ
book 2.5.3 αὐχένι Ἰσθμοῦ ζαθέαν
book 2.5.4 λιπόντες Εὐξαντίδα νᾶ-
book 2.5.5 σον ἐπεδείξαμεν ἑβδομή-
book 2.10.1 κοντα [σὺ]ν στεφάνοισιν.
book 2.10.2 Καλεῖ δὲ Μοῦς’ αὐθιγενὴς
book 2.10.3 γλυκεῖαν αὐλῶν καναχάν,
book 2.10.4 γεραίρους’ ἐπινικίοις
book 2 Πανθείδα φίλον υἱόν.
book 3.1 Ἀριστο[κ]άρπου Σικελίας κρέουσαν
book 3.2 Δ[ά]ματρα ἰοστέφανόν τε Κούραν
book 3.3 ὕμνει, γλυκύδωρε Κλεοῖ, θοάς τ’ Ὀ-
book 3.4 [λυμ]πιοδρόμους Ἱέρωνος ἵππ[ο]υς.
book 3.5.1 [Σεύον]το γὰρ σὺν ὑπερόχῳ τε Νίκᾳ
book 3.5.2 [σὺν Ἀγ]λαΐᾳ τε παρ’ εὐρυδίναν
book 3.5.3 [Ἀλφεόν, τόθι] Δεινομένεος ἔθηκαν
book 3.5.4 ὄλβιον τ[έκος στεφάνω]ν κυρῆσαι·
book 3.5.5 θρόησε δὲ λ[αὸς –]
book 3.10.1 [–] ἇ τρισευδαίμ[ων ἀνὴρ]
book 3.10.2 ὃς παρὰ Ζηνὸς λαχὼν πλείστ-
book 3.10.3 αρχον Ἑλλάνων γέρας
book 3.10.4 οἶδε πυργωθέντα πλοῦτον μὴ μελαμ-
book 3 φαρέϊ κρύπτειν σκότῳ.
book 3.15.1 Βρύει μὲν ἱερὰ βουθύτοις ἑορταῖς,
book 3.15.2 βρύουσι φιλοξενίας ἀγυιαί·
book 3.15.3 λάμπει δ’ ὑπὸ μαρμαρυγαῖς ὁ χρυσός,
book 3.15.4 ὑψιδαιδάλτων τριπόδων σταθέντων
book 3.15.5 πάροιθε ναοῦ, τόθι μέγι[στ]ον ἄλσος
book 3.20.1 Φοίβου παρὰ Κασταλίας [ῥ]εέθροις
book 3.20.2 Δελφοὶ διέπουσι. Θεόν, θ[εό]ν τις
book 3.20.3 ἀγλαϊζέθὠ γὰρ ἄριστος [ὄ]λβων·
book 3.20.4 ἐπεί ποτε καὶ δαμασίπ-
book 3.20.5 [π]ου Λυδίας ἀρχαγέταν,
book 3.25.1 εὖτε τὰν πεπ[ρωμέναν] Ζη-
book 3.25.2 νὸς τελέ[σσαντος κρί]σιν
book 3.25.3 Σάρδιες Περσᾶ[ν ἁλίσκοντο στρ]ατῷ,
book 3.25.4 Κροῖσον ὁ χρυσά[ορος]
book 3.25.5 φύλαξ’ Ἀπόλλων. [Ὁ δ’ ἐς] ἄελπτον ἆμαρ
book 3.30.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ[ο]λὼν πολυδ[άκρυο]ν οὐκ ἔμελλε
μίμνειν ἔτι δ[ουλοσύ]ναν, πυρὰν δὲ
χαλκ[ο]τειχέος π[ροπάροι]θεν αὐ[λᾶς]
ναήσατ', ἔνθα σὺ[ν ἀλόχῳ] τε κεδ[νᾷ]
σὺν εὐπλοκάμοι[ς τ'] ἐπέβαιν' ἄλα[στον]
[θ]υ[γ]ατράσι δυρομέναις· χέρας δ' [ἐς]
[αἰ]πὺν αἰθέρα σ[φ]ετέρας ἀείρας
[γέ]γ[ω]νεν· «Ὑπέρ[βι]ε δαῖ-
μον, [πο]ῦ θεῶν ἐστι[ν] χάρις;
[πο]ῦ δὲ Λατοίδ[ας] ἄναξ; [ἔρ-]
[ρουσ]ιν Ἀλυά[τ]τα δόμοι
[––––] μυρίων
[––––]ν.
[–]ν ἄστυ,
[ἐρεύθεται αἵματι χρυσο]δίνας
Πακτωλός, ἀ[ε]ικελίως γυνα[ῖ]κες
ἐξ ἐϋκτίτων μεγάρων ἄγονται·
τὰ πρόσθεν [ἐχ]θρὰ φίλα· θανεῖν γλύκιστον.»
Τόσ' εἶπε, καὶ ἁβ[ρο]βάταν κ[έλε]υσεν
ἅπτειν ξύλινον δόμον. Ἔκ[λα]γον δὲ
παρθένοι, φίλας τ' ἀνὰ ματρὶ χεῖρας
ἔβαλλον· ὁ γὰρ προφανὴς
θνατοῖσιν ἔχθιστος φόνων·
ἀλλ' ἐπεὶ δεινο[ῦ π]υρὸς λαμ-
πρὸν διάϊ[σσεν μέ]νος,
Ζεὺς ἐπιστάσας [μελαγκευ]θὲς νέφος
σβέννυεν ξανθὰ[ν φλόγα.]
Ἄπιστον οὐδὲν ὅ τι θ[εῶν μέ]ριμνα
τεύχει· τότε Δαλογενὴ[ς Ἀπό]λλων
φέρων ἐς Ὑπερβορέο[υς γ]έροντα
σὺν τανισφύροις κατ[έν]ασσε κούραις
δι' εὐσέβειαν, ὅτι μέ[γιστα] θνατῶν
ἐς ἀγαθέαν 〈ἀν〉 ἔπεμψε Π[υθ]ώ.
Ὅσο[ι] 〈γε〉 μὲν Ἑλλάδ' ἔχουσιν, [ο]ὔτι[ς,]
ὦ μεγαίνητε Ἱέρων, θελήσει
[φάμ]εν σέο πλείονα χρυ-
σὸν [Λοξί]ᾳ πέμψαι βροτῶν.
Εὖ λέγειν πάρεστιν ὅσ[τις]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[μ]ὴ φθόνῳ πιαίνεται,
book 3.65.5 [⏕]λη φίλιππον ἄνδρ’ ἀ[ρ]ήϊ-
book 3.70.1 ον [–]ίου σκᾶπτρ[ο]ν Διὸ[ς]
book 3.70.2 [ἰοπλό]κων τε μέρο[ς ἔχοντ]α Μουσᾶν·
book 3.70.3 [–]μαλέαι ποτ[ὲ–].´ ιων
book 3.70.4 [–]νος ἐφάμερον α[–]·
book 3 [–]α σκοπεῖς· βραχ[ύς ἐστιν αἰών·]
book 3.75.1 πτερόεσσα δ’ ἐλπὶς ὑπ[– ν]όημα
book 3.75.2 [ἐφαμ]ερίων· ὁ δ’ ἄναξ [Ἀπόλλων]
book 3.75.3 [–].´ λος εἶπε Φέρη[τος υἷι·]
book 3.75.4 «Θνατὸν εὖντα χρὴ διδύμους ἀέξειν
book 3.75.5 γνώμας, ὅτι τ’ αὔριον ὄ-
book 3.80.1 ψεαι μοῦνον ἁλίου φάος,
book 3.80.2 χὤτι πεντήκοντ’ ἔτεα ζω-
book 3.80.3 ὰν βαθύπλουτον τελεῖς.
book 3.80.4 Ὅσια δρῶν εὔφραινε θυμόν· τοῦτο γὰρ
book 3.80.5 κερδέων ὑπέρτατον.»
book 3.85.1 Φρονέοντι συνετὰ γαρύω· βαθὺς μὲν
book 3.85.2 αἰθὴρ ἀμίαντος· ὕδωρ δὲ πόντου
book 3.85.3 οὐ σάπεται· εὐφροσύνα δ’ ὁ χρυσός·
book 3.85.4 ἀνδρὶ δ’ οὐ θέμις, πολιὸν π[αρ]έντα
book 3.85.5 γῆρας, θάλ[εια]ν αὖτις ἀγκομί 〈σ〉 σαι
book 3.90.1 ἥβαν. Ἀρετᾶ[ς γε μ]ὲν οὐ μινύθει
book 3.90.2 βροτῶν ἅμα σ[ώμ]ατι φέγγος, ἀλλὰ
book 3.90.3 Μοῦσά νιν τρ[έφει.] Ἱέρων, σὺ δ’ ὄλβου
book 3.90.4 κάλλιστ’ ἐπεδ[είξ]αο θνα-
book 3.90.5 τοῖς ἄνθεα· πράξα[ντι] δ’ εὖ
book 3.95.1 οὐ φέρει κόσμ[ον σι]ωπά·
book 3.95.2 σὺν δ’ ἀλαθ[εία̣] καλῶν
book 3.95.3 καὶ μελιγλώσσου τις ὑμνήσει χάριν
book 3 Κηΐας ἀηδόνος.
book 4.1 Ἔτι Συρακοσίαν φιλεῖ
book 4.2 πόλιν ὁ χρυσοκόμας Ἀπόλλων,
book 4.3 ἀστύθεμίν θ’ Ἱέ[ρω]να γεραίρει·
book 4.4 τρίτον γὰρ π[αρ’ ὀμφα]λὸν ὑψιδείρου χθονὸς
book 4.5.1 Πυ[θ]ιόνικος ἀ[είδε]ται
book 4.5.2 ὠ[κυ]πόδων ἀρ[ετᾶ̣] σὺν ἵππων.
book 4.5.3 ´Ε[] ἁδυεπὴς ἀ[να-
book 4.5.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξιφόρ]μιγγος Οὐρ[αν]ίας ἀλέκτωρ
book 4.5.5 []εν· ἀλλ’ ἑκ[όν]τι νόῳ
book 4.10.1 [–ο]υς ἐπέσεισεν ὕμνους.
book 4.10.2 [Ἔτι δὲ τέ]τρατον εἴ τις ορ-
book 4.10.3 [] εἷλκε Δίκας τάλαν[τον,]
book 4.1 Δεινομένεός κ’ ἐγερα[ίρ]ομεν υἱὸν
book 4.2 παρ’ ἑστίαν ἀγχιάλοις τ[ε Κί]ρρας μυχοῖς
book 4.15.1 μοῦνον ἐπιχθονίων τάδε
book 4.15.2 μησάμενον στεφάνοις ἐρέπτειν
book 4.15.3 δύο τ’ ὀλυμπιονικ 〈ί〉 ας
book 4.15.4 ἀείδειν. Τί φέρτερον ἢ θεοῖσιν
book 4.15.5 φίλον ἐόντα παντο[δ]απῶν
book 4.20 λαγχάνειν ἄπο μοῖρα[ν] ἐσθλῶν;
book 5.1 Εὔμοιρε [Σ]υρακ[οσίω]ν
book 5.2 ἱπποδινήτων στρατα[γ]έ,
book 5.3 γνώσῃ μὲν [ἰ]οστεφάνων
book 5.4 Μοισᾶν γλυκ[ύ]δωρον ἄγαλμα, τῶν γε νῦν
book 5.5.1 αἴ τις ἐπιχθονίων, ὀρ-
book 5.5.2 θῶς· φρένα δ’ εὐθύδικ[ο]ν
book 5.5.3 ἀτρέμ’ ἀμπαύσας μεριμνᾶν
book 5.5.4 δεῦρ’ 〈ἄγ’〉 ἄθρησον νόῳ·
book 5.5.5 ἦ σὺν Χαρίτεσσι βαθυζώνοις ὑφά-
book 5.10.1 νας ὕμνον ἀπὸ ζαθέας
book 5.10.2 νάσου ξένος ὑμετέραν
book 5.10.3 πέμπει κλεένναν ἐς πόλιν,
book 5.10.4 χρυσάμπυκος Οὐρανίας
book 5.10.5 καινὸς θεράπων· ἐθέλει
book 5.15.1 δὲ γᾶρυν ἐκ στηθέων χέων
book 5.15.2 αἰνεῖν Ἱέρωνα. Βαθὺν
book 5.1 δ’ αἰθέρα ξουθαῖσι τάμνων
book 5.2 ὑψοῦ πτερύγεσσι ταχεί-
book 5.3 αις αἰετὸς εὐρυάνακτος ἄγγελος
book 5.20.1 Ζηνὸς ἐρισφαράγου θαρ-
book 5.20.2 σεῖ κρατερᾷ πίσυνος
book 5.20.3 ἰσχύϊ, πτάσσοντι δ’ ὄρνι-
book 5.20.4 χες λιγύφθογγοι φόβῳ·
book 5.20.5 οὔ νιν κορυφαὶ μεγάλας ἴσχουσι γαί-
book 5.25.1 ας, οὐδ’ ἁλὸς ἀκαμάτας
book 5.25.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυσπαίπαλα κύματα· νω-
book 5.25.3 μᾶται δ’ ἐν ἀτρύτῳ χάει
book 5.25.4 λεπτότριχα σὺν Ζεφύρου
book 5.25.5 πνοιαῖσιν ἔθειραν ἀρί-
book 5.30.1 γνωτος μετ’ ἀνθρώποις ἰδεῖν·
book 5.30.2 τὼς νῦν καὶ 〈ἐ〉 μοὶ μυρία πάντᾳ κέλευθος
book 5.30.3 ὑμετέραν ἀρετὰν
book 5.30.4 ὑμνεῖν, κυανοπλοκάμου θ’ ἕκατι Νίκας
book 5.30.5 χαλκεοστέρνου τ’ Ἄρηος,
book 5.35.1 Δεινομένευς ἀγέρωχοι
book 5.35.2 παῖδες· εὖ ἔρδων δὲ μὴ κάμοι θεός.
book 5.35.3 Ξανθότριχα μὲν Φερένικον
book 5.1 Ἀλφεὸν παρ’ εὐρυδίναν
book 5.2 πῶλον ἀελλοδρόμαν
book 5.40.1 εἶδε νικάσαντα χρυσόπαχυς Ἀώς,
book 5.40.2 Πυθῶνί τ’ ἐν ἀγαθέᾳ·
book 5.40.3 γᾶ δ’ ἐπισκήπτων πιφαύσκω·
book 5.40.4 οὔπω νιν ὑπὸ προτέ[ρω]ν
book 5.40.5 ἵππων ἐν ἀγῶνι κατέχρανεν κόνις
book 5.45.1 πρὸς τέλος ὀρνύμενον· ῥι-
book 5.45.2 πᾷ γὰρ ἴσος Βορέα
book 5.45.3 ὃν κυβερνήταν φυλάσσων
book 5.45.4 ἵεται νεόκροτον
book 5.45.5 νίκαν Ἱέρωνι φιλοξείνῳ τιτύσ-
book 5.1 κων. Ὄλβιος ᾧτινι θεὸς
book 5.2 μοῖράν τε καλῶν ἔπορεν
book 5.3 σύν τ’ ἐπιζήλῳ τύχᾳ
book 5.4 ἀφνεὸν βιοτὰν διάγειν·
book 5.5 οὐ γάρ τισ ἐπιχθονίων
book 5.55.1 πάντα γ’ εὐδαίμων ἔφυ.
book 5.55.2 [Δῦναί π]οτ’ ἐρειψιπύλαν
book 5.55.3 [ἄνδρ’ ἀνίκ]ατον λέγουσιν
book 5.55.4 [ἔρνος Διὸς] ἀργικεραύ-
book 5 νου δώματα Φερσεφόνας τανισφύρου,
book 5.60.1 καρχαρόδοντα κύν’ ἄξον-
book 5.60.2 τ’ ἐς φάος ἐξ Ἀΐδα,
book 5.60.3 υἱὸν ἀπλάτοι’ Ἐχίδνας·
book 5.60.4 ἔνθα δυστάνων βροτῶν
book 5.60.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχὰς ἐδάη παρὰ Κωκυτοῦ ῥεέ-
θροις, οἷά τε φύλλ’ ἄνεμος
Ἴδας ἀνὰ μηλοβότους
πρῶνας ἀργηστὰς δονεῖ.
Ταῖσιν δὲ μετέπρεπεν εἴ-
δωλον θρασυμέμνονος ἐγ-
χεσπάλου Πορθανίδα·
τὸν δ’ ὡς ἴδεν Ἀλκμή 〈ν〉 ιος θαυμαστὸς ἥρως
τ[ε]ύχεσι λαμπόμενον,
νευρὰν ἐπέβασε λιγυκλαγγῆ κορώνας,
χαλκεόκρανον δ’ ἔπειτ’ ἐξ
είλετο ἰὸν ἀναπτύ-
ξας φαρέτρας πῶμα· τῷ δ’ ἐναντία
ψυχὰ προφάνη Μελεάγρου,
καί νιν εὖ εἰδὼς προσεῖπεν·
«Υἱὲ Διὸς μεγάλου,
στᾶθί τ’ ἐν χώρᾳ, γελανώσας τε θυμὸν
μὴ ταΰσιον προΐει
τραχὺν ἐκ χειρῶν ὀϊστὸν
ψυχαῖσιν ἔπι φθιμένων·
οὔ τοι δέος.» Ὣς φάτο· θάμβησεν δ’ ἄναξ
Ἀμφιτρυωνιάδας, εἶ-
πέν τε· «Τίς ἀθανάτων
ἢ βροτῶν τοιοῦτον ἔρνος
θρέψεν ἐν ποίᾳ χθονί;
Τίς δ’ ἔκτανεν; Ἦ τάχα καλλίζωνος Ἥ-
ρα κεῖνον ἐφ’ ἁμετέρᾳ
πέμψει κεφαλᾷ· τὰ δέ που
Παλλάδι ξανθᾷ μέλει.»
Τὸν δὲ προσέφα Μελέα-
γρος δακρυόεις· «Χαλεπὸν
θεῶν παρατρέψαι νόον
ἄνδρεσσιν ἐπιχθονίοις.
Καὶ γὰρ ἂν πλάξιππος Οἰνεὺς
παῦσεν καλυκοστεφάνου
σεμνᾶς χόλον Ἀρτέμιδος λευκωλένου
λισσόμενος πολέων τ’ αἰ-
γῶν θυσίαισι πατὴρ

καὶ βοῶν φοινικονώτων·
ἀλλ’ ἀνίκατον θεὰ
ἔσχεν χόλον· εὐρυβίαν δ’ ἔσσευε κού-
ρα κάπρον ἀναιδομάχαν
ἐς καλλίχορον Καλυδῶν’,
ἔνθα πλημύρων σθένει
ὄρχους ἐπέκειρεν ὀδόν-
τι, σφάζε τε μῆλα, βροτῶν
θ’ ὅστις εἰσάνταν μόλοι.
Τῷ δὲ στυγερὰν δῆριν Ἑλλάνων ἄριστοι
στασάμεθ’ ἐνδυκέως
ἓξ ἄματα συνεχέως· ἐπεὶ δὲ δαίμων
κάρτος Αἰτωλοῖς ὄρεξεν,
θάπτομεν οὓς κατέπεφνε〈ν〉
σῦς ἐριβρύχας ἐπαΐσσων βίᾳ,
Ἀ[γκ]αῖον ἐμῶν τ’ Ἀγέλαον
φ[έρτ]ατον κεδνῶν ἀδελφεῶν
[οὓς τέ]κεν ἐν μεγάροις
[–]ς Ἀλθαία περικλειτοῖσιν Οἰνέος·
[– ὤ]λεσε μοῖρ’ ὀλοὰ
[–]ς· οὐ γάρ πω δαΐφρων
[παῦσεν] χόλον ἀγροτέρα
Λατοῦς θυγάτηρ· περὶ δ’ αἴθωνος δορᾶς
μαρνάμεθ’ ἐνδυκέως Κου-
ρῆσι μενεπτολέμοις·
ἔνθ’ ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικλον κατέκτανον
ἐσθλόν τ’ Ἀφάρητα, θοοὺς μάτρωας· οὐ
γὰρ καρτερόθυμος Ἄρης
κρίνει φίλον ἐν πολέμῳ,
τυφλὰ δ’ ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων
φοιτᾷ θάνατόν τε φέρει
τοῖσιν ἂν δαίμων θέλῃ.
Ταῦτ’ οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφρων
μάτηρ κακόποτμος ἐμοὶ
βούλευσεν ὄλεθρον ἀτάρβακτος γυνά,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καῖέ τε δαιδαλέας ἐκ
book 5.1 λάρνακος ὠκύμορον
book 5.2 φιτρὸν ἐξαύσασα· τὸν δὴ
book 5.3 Μοῖρ’ ἐπέκλωσεν τότε
book 5.4 ζωᾶς ὅρον ἁμετέρας ἔμμεν. Τύχον
book 5.145.1 μὲν Δαϊπύλου Κλύμενον
book 5.145.2 παῖδ’ ἄλκιμον ἐξεναρί-
book 5.145.3 ζων ἀμώμητον δέμας,
book 5.145.4 πύργων προπάροιθε κιχή-
book 5.145.5 σας· τοὶ δὲ πρὸς εὐκτιμέναν
book 5.1 φεῦγον ἀρχαίαν πόλιν
book 5.2 Πλευρῶνα· μίνυθεν δέ μοι ψυχὰ γλυκεῖα·
book 5.3 γνῶν δ’ ὀλιγοσθενέων,
book 5.4 αἰαῖ· πύματον δὲ πνέων δάκρυσα τλά[μων,]
book 5.5 ἀγλαὰν ἥβαν προλείπων.»
book 5.155.1 Φασὶν ἀδεισιβόαν Ἀμ-
book 5.155.2 φιτρύωνος παῖδα μοῦνον δὴ τότε
book 5.155.3 τέγξαι βλέφαρον, ταλαπενθέος
book 5.155.4 πότμον οἰκτίροντα φωτός·
book 5.155.5 καί νιν ἀμειβόμενος
book 5.160.1 τᾶδ’ ἔφα· «Θνατοῖσι μὴ φῦναι φέριστον
book 5.160.2 μηδ’ ἀελίου προσιδεῖν
book 5.160.3 φέγγος· ἀλλ’ οὐ γάρ τίς ἐστιν
book 5.160.4 πρᾶξις τάδε μυρομένοις,
book 5 χρὴ κεῖνο λέγειν ὅ τι καὶ μέλλει τελεῖν.
book 5.165.1 Ἦρά τις ἐν μεγάροις Οἰ-
book 5.165.2 νῆος ἀρηϊφίλου
book 5.165.3 ἔστιν ἀδμήτα θυγάτρων,
book 5.165.4 σοὶ φυὰν ἀλιγκία;
book 5.165.5 Τάν κεν λιπαρὰν 〈ἐ〉θέλων θείμαν ἄκοι-
book 5.170.1 τιν.» Τὸν δὲ μενεπτολέμου
book 5.170.2 ψυχὰ προσέφα Μελεά-
book 5.170.3 γρου· «Λίπον χλωραύχενα
book 5.170.4 ἐν δώμασι Δαϊάνει-
book 5.170.5 ραν, νῆϊν ἔτι χρυσέας
book 5.175.1 Κύπριδος θελξιμβρότου.»
book 5.175.2 Λευκώλενε Καλλιόπα,
book 5.175.3 στᾶσον εὐποίητον ἅρμα
book 5.175.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ· Δία τε Κρονίδαν
ὕμνησον Ὀλύμπιον ἀρχαγὸν θεῶν,
τόν τ’ ἀκαμαντορόαν Ἀλ-
φεόν, Πέλοπός τε βίαν,
καὶ Πίσαν ἔνθ ὁ κλεεννὸς
[πο]σσὶ νικάσας δρόμῳ
[ἦλθ]εν Φερένικος 〈ἐσ〉 εὐπύργους Συρα-
κόσσας Ἱέρωνι φέρων
[εὐδ]αιμονίας πέταλον.
[Χρὴ] δ’ ἀληθείας χάριν
αἰνεῖν, φθόνον ἀμφ[οτέραι-]
[σιν] χερσὶν ἀπωσάμενον,
εἴ τις εὖ πράσσοι βροτῶ[ν.]
Βοιωτὸς ἀνὴρ τᾶδε φών[ησεν, γλυκειᾶν]
Ἡσίοδος πρόπολος
Μουσᾶν, ὃν 〈ἂν〉 ἀθάνατοι τι[μῶσι, τούτῳ]
καὶ βροτῶν φήμαν ἕπ[εσθαι.]
Πείθομαι εὐμαρέως εὐ-
κλέα κελεύθου γλῶσσαν οὐ[–––]
πέμπειν Ἱέρωνι· τόθεν γὰ[ρ]
πυθμένες θάλλουσιν ἐσθλ[ῶν,]
τοὺς ὁ μεγιστοπάτωρ
Ζεὺς ἀκινήτους ἐν εἰρήν[ᾳ φυλάσσοι.]
Λάχων Διὸς
μεγίστου λάχε φέρτατον πόδεσσι
κῦδος ἐπ’ Ἀλφεοῦ προχοαῖσ[ι κα-]
[λῶν] δι’ ὅσσα πάροι-
θεν ἀμπελοτρόφον Κέον
ἄεισάν ποτ’ Ὀλυμπίᾳ
πύξ τε καὶ στάδιον κρατεῦ-
[σαν] στεφάνοις ἐθείρας
νεανίαι
βρύοντες. Σὲ δὲ νῦν ἀναξιμόλπου
Οὐρανίας ὕμνος ἕκατι Νί-
κ[ας,] Ἀριστομένει-
ον ὦ ποδάνεμον τέκος,
γεραίρει προδόμοις ἀοι-
δαῖς ὅτι στάδιον κρατή-

σας Κέον εὐκλέϊξας.
book 7.1 Ὦ λιπαρὰ θύγατερ Χρόνου τε κ[αὶ] Νυκ-
book 7.2 τός, σὲ πεντήκοντα μηνῶν ἁμέραν ἑκ-
book 7.3 καιδεκάταν ἐν ᾿Ολυμπ[ίᾳ –]
book 7.4 [...]βαρυβρ[ ]ἕκατι
book 7.5.1 [...]ιστοσαιμα[ ]
book 7.5.2 κρίνειν τα[χυτᾶτά τε] λαιψηρῶν ποδῶν
book 7.5.3 Ἕλλασι καὶ γυ[ίων ἀ]ρισταλκὲς σθένος·
book 7.5.4 ῷ δὲ σὺ πρεσβύ[τατο]ν νείμῃς γέρας νί-
book 7.5.5 κας, ἐπ’ ἀνθρ[ώπ]οισιν εὔδοξος κέκληται
book 7.10.1 καὶ πολυζή[λωτ]ος. Ἀρι[στομ]έν[ει]ον
book 7.10.2 [...]’ ἐκόσμη[σας στε]φάν[οισι Λάχω]να
book 7.10.3 [ ]χε Χαιρόλαν[ ]
book 7.10.4 [ ]ενον εὐσεβ[ ]
book 7.10.5 [ ]τῳ θαν[ ] δ[ ]ομῳ
book 7.15.1 [ ]ι πατρίδος·[ ]
book 7.15.2 [ ]νεοκρίτου[ ]
book 7.15.3 [ ]ν ἄτεκνον[ ]
book 7 (desunt ultima cola epodi)
book 8 (desunt cola six)
book 8.7.1 [...]ιοι’ ἀγων[ ]
book 8.7.2 [....]ταν λιπα[ρ]
book 8.7.3 [...]ναισεπα[ ]
book 8.10.1 [.π]αῖδας Ἑλλά[νων]
book 8.10.2 [ὁ πο]λυαμπελ[ ]
book 8.10.3 [...]τον ὑμν[ ]
book 8.10.4 [..]ηνος ἐν Κ[έῳ]
book 8.10.5 [..]ιπερ ἄνιπ[πος –]
book 8.15.1 [...]π[ ]
book 8.15.2 Πυθῶνά τε μηλοθύταν
book 8.15.3 ὑμνέων Νεμέαν τε καὶ ᾿Ισθ[μ]όν·
book 8.15.4 γᾷ δ’ ἐπισκήπτων χέρα
book 8.15.5 κομπάσομαι· σὺν ἀλα-
book 8.20.1 θείᾳ δὲ πᾶν λάμπει χρέος·
book 8.20.2 οὔτις ἀνθρώπων κ[αθ’ Ἕλλα-]
book 8.20.3 νας σὺν ἅλικι χρόνῳ [ ]
book 8.20.4 παῖς ἐὼν ἀνήρ τε π[λεῦ-]
book 8 νας ἐδέξατο νίκας.
book 8.25.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὦ Ζεῦ κ[ε]ραυνεγχές, κα[ὶ ἐπ’ ἀργυ]ροδίνα
book 8.25.2 ὄχθαισιν Ἀλφειοῦ τελέσ[αις μεγ]αλοκλέας
book 8.25.3 θεοδότους εὐχάς, περὶ κ[ρατί τ’ ὀ]πά[σσαι]ς
book 8.25.4 γλαυκὸν Αἰτωλίδος
book 8.25.5 ἄνδημ’ ἐλαίας
book 8.30 ἐν Πέλοπος Φρυγίου
book 8 κλεινοῖς ἀέθλοις.
book 9.1 Δόξαν, ὦ χρυσαλάκατοι Χάρι[τ]ες, πει-
book 9.2 σίμβροτον δοίητ’, ἐπεὶ
book 9.3 Μουσᾶν γε ἰοβλεφάρων θεῖος προφ[άτ]ας
book 9.4 εὔτυκος Φλειοῦντά τε καὶ Νεμεαίου
book 9.5.1 Ζηνὸς εὐθαλὲς πέδον
book 9.5.2 ὑμνεῖν, ὅθι μηλοδαΐκταν
book 9.5.3 θρέψεν ἁ λευκώλε[νο]ς
book 9.5.4 Ἥρα περι[κλει]τῶν ἀέθλων
book 9.5.5 πρῶτον [Ἡ]ρ[α]κλεῖ βαρύφθογγον λέοντα.
book 9.10.1 Κε[ῖθι φοι]νικάσπιδες ἡμίθεοι πρ[ώ-]
book 9.10.2 [τιστ]ον Ἀργείων κριτοὶ
book 9.10.3 ἄθλησαν ἐπ’ Ἀρχεμόρῳ, τὸν ξανθοδερκὴς
book 9.10.4 πέφν’ ἀωτεύοντα δράκων ὑπέροπλος,
book 9.10.5 σᾶμα μέλλοντος φόνου.
book 9.15 Ὦ μοῖρα πολυκρατές· οὔ νιν
book 9.1 πεῖθ’ Ὀϊκλείδας πάλιν
book 9.2 στείχειν ἐς εὐάνδρους ἀγ[υιάς.]
book 9.3 Ἐλπὶς ἀνθρώπων ὑφαιρ[εῖται νόημ]α·
book 9.4 ἃ καὶ τότ’ Ἄδραστον Ταλ[αϊονίδαν]
book 9.20.1 πέμπεν ἐς Θήβας Πολυνείκεϊ πλα.ι[–––]
book 9.20.2 κείνων ἀπ’ εὐδόξων ἀγώ-
book 9.20.3 νων ἐν Νεμέᾳ κλεινο[ὶ β]ροτῶν
book 9.20.4 οἳ τριέτει στεφάνῳ
book 9.20.5 ξανθὰν ἐρέψωνται κόμαν.
book 9.25.1 Αὐτομήδει νῦν γε νικά-
book 9.25.2 σαντί νιν δαίμων ἔ[δ]ωκεν.
book 9.25.3 Πενταέθλοισιν γὰρ ἐνέπρεπεν ὡς ἄσ-
book 9.25.4 τρων διακρίνει φάη
book 9.25.5 νυκτὸς διχομηνίδο[ς] εὐφεγγὴς σελάνα·
book 9.30.1 τοῖος Ἑλλάνων δι’ ἀπ[εί]ρονα κύκλον
book 9.30.2 φαῖνε θαυμαστὸν δέμας
book 9.30.3

δίσκον τροχοειδέα ῥίπτων,
καὶ μελαμφύλλου κλάδον
ἀκτέας ἐς αἰπεινὰν προπέμπων
αἰθέρ’ ἐκ χειρὸς βοὰν ὤτρυνε λαῶν
ἢ τε[λε]υτάσας ἀμάρυγμα πάλας· τοί-
ῳ[ θ’ ὑπερθ]ύμῳ σ[θένε]ι
γυια[λκέα σώ]ματα [πρὸς γ]αίᾳ πελάσσα[ς]
ἵκετ’ [Ἀσωπὸ]ν πάρα πορφυροδίναν,
τοῦ κ[λέος π]ᾶσαν χθόνα
ἦλθε[ν καὶ] ἐπ’ ἔσχατα Νείλου·
ταί τ’ ἐπ’ εὐναεῖ πόρῳ
οἰκεῦσι Θερμώδον[τος, ἐ]γχέων
ἵστορες κοῦραι διωξίπποι’ Ἄρηος,
σῶν, ὦ πολυζήλωτε ἄναξ ποταμῶν,
ἐγγόνων γεύσαντο, καὶ ὑψιπύλου Τροίας ἕδος.
Στείχει δι’ εὐρείας κελε[ύ-]
θου μυρία πάντᾳ φάτις
σᾶς γενεᾶς λιπαρο-
ζώνων θυγατρῶν, ἃς θε[ο]ὶ
σὺν τύχαις ᾤκισσαν ἀρχα-
γοὺς ἀπορθήτων ἀγυιᾶν.
Τίς γὰρ οὐκ οἶδεν κυανοπλοκάμου Θή-
βας ἐΰδμα[τον πόλι]ν,
[ἢ τὰν μεγαλώνυ]μον Αἴγιναν, μεγ[ίστ]ου
[Ζην]ὸς [ἃ πλαθεῖσα λ]έχει τέκεν ἥρω
[–]δε σω[––]ου,
[ὃς γ]ᾶς βασά[νοισιν Ἀχ]αιῶν
[ ]υ[ ]α[ ]
τ[–––––––]
α[ ]ω[.......ε]ὔπεπλον [..].΄[ ]
ἢ [––]αν ἑλικοστέφα[νον] κ[–]
[– ὅ]σαι τ’ ἄλλαι θεῶν
ε[ὐναῖς ἐδ]άμησαν ἀριγνώτ[ο]ις π[α]λαι[οῦ]
[παῖδες αἰ]δο[ῖ]αι ποταμοῦ κε[λ]άδοντος·
[–––]αν πόλιν
[–––]σί τε νικα[ ]
[–– αὐ]λῶν βοαὶ
[–––ο]υσαι· μερ[––]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[--------]αν·
[------]νεος
[χρ]υσέα[ν...]θέντα ἰόπλοκον εὖ εἰπεῖν [-]
[- μ]ατ[έρ’ ἀκ]νάμ[π]των ἐρώ-
των [-- κλε]ινὰν βροτο[ῖς]
[--]λέων
---- προξεν[-]
[----].ιώταν
[----]ν ὕμνον,
[----] καὶ ἀποφθιμένῳ [-]
[- ἄτ]ρυτον χρόνον,
[καὶ τοῖς ἐ]πιγεινομένοις αἰεὶ πιφαύσκοι
[σὰν Νε]μέᾳ νίκαν· τό γέ τοι καλὸν ἔργον
γνησίων ὕμνων τυχὸν
ὑψοῦ παρὰ δαίμοσι κεῖται·
σὺν δ’ ἀλαθείᾳ βροτῶν
κάλλιστον, εἴπ[ερ καὶ θάνῃ τις,]
λε[ί]πεται Μουσ[ᾶν --- ἄθ]υρμα.
Εἰ[σ]ὶ δ’ ἀνθρώ[πων --] πολ-
λαί· δι[α]κρίν[ε]ι δὲ θεῶν
[β]ουλὰ [-ό]μενον νυκτὸς [--]
[.]...[---]γε καὶ τὸν ἀρείω
[----]που·
[---]ευσων
[-----]
[----- π]αύροις
[ἀν]δρ[άσιν -----]ι τὸ μέλλον·
[..]ιμι δ[--]δῶκε χάριν
[κ]αὶ Διων[υσ--] θεοτίματο[ν] πόλιν
[ν]αίειν ἀπο[--]ευν-
τας [χ]ρυσεοσκάπτρ[--]
[-]τι καλὸν φε[-]
[-]αἰνέοι· Τιμοξ[ένου]
παιδὶ σὺν κώ[μοις --]
[..]οιτε πεντ[αθλ---]
[Φή]μα, σὺ γ[ὰ]ρ ἀ[--- ἐ]ποιχνεῖς
[φῦ]λα, καὶ πα[--]
[.....]μελαμει[-]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[.....]πο κευ[–]
[....]νωνται [–––]
[–].΄. ῳ ξ[..]ον, ὅτι χρυ[σ––]
ο[...]ν ὀφθαλμοῖσιν [––]
π[αῦλ]αν ἀπράκταν.. [.]..[ ]
α[..]α.ι καὶ νῦν κασιγνήτας ἀκοίτας
νασιῶτιν ἐκίνησεν λιγύφθογγον μέλισσαν,
ἐ[γ]χειρὲς ἵν’ ἀθάνατον Μουσᾶν ἄγαλμα
ξυνὸν ἀνθρώποισιν εἴη
χάρμα, τεὰν ἀρετὰν μα-
νῦον ἐπιχθονίοισιν,
ὁσσά 〈κισ〉 Νίκας ἕκατι
ἄνθεσιν ξανθὰν ἀναδησάμενος κεφαλὰν
κῦδος εὐρείαις Ἀθάναις
θῆκας Οἰνείδαις τε δόξαν.
Ἐν Ποσειδᾶνος περικλειτοῖς ἀέθλοις
[–––]ας Ἕλλασιν ποδῶν ταχεῖαν ὁρμάν·
.[.].[..... οὔ]ροισιν ἔπι σταδίου
θερμ[ὰν ἔτι] πνέων ἄελλαν
ἔστα[–]ν δ’ ἄϊξε θατήρων ἐλαίῳ
φάρε[–]ν ἐμπίτνων ὅμιλον.
Τετρ[αέλικτο]ν ἐπεὶ
κάμψ[εν δρό]μον, Ἰσθμιονίκαν
δίς ν[ιν ἀγκ]άρυξαν εὐβού-
λων [––]ων προφᾶται·
δὶς δ’ ἐ[ν Νεμέ]ᾳ Κρονίδα Ζηνὸς παρ’ ἁγνὸν
βωμό[ν· ἁ κλει]νά τε Θήβα
δέκτ[ο νιν ε]ὐρύχορόν τ’ Ἄρ-
γο[ς Σικυώ]ν τε κατ’ αἶσαν·
οἵ τε Π[ελλάν]αν νέμονται,
ἀμφί τ’ Εὔβοιαν πολ[υλάϊο]ν, οἵ θ’ ἱερὰν
νᾶσον [Αἴγιν]αν. Ματεύει
δ’ ἄλλ[ος ἀλλοί]αν κέλευθον,
ἅντι[να στείχ]ων ἀριγνώτοιο δόξας
τεύξεται. Μυρίαι δ’ ἀνδρῶν ἐπιστᾶμαι πέλονται·
ἦ γὰρ σ[ο]φὸς ἢ Χαρίτων τιμὰν λελογχὼς
ἐλπίδι χρυσέᾳ τέθαλεν
ἤ τινα θευπροπίαν ἰ-

δώς· ἕτερος δ’ ἐπὶ παισὶ
book 10.40.4 ποικίλον τόξον τιταίνει·
book 10.40.5 οἱ δ’ ἐπ’ ἔργοισίν τε καὶ ἀμφὶ βοῶν ἀ[γ]έλαις
book 10.45.1 θυμὸν αὔξουσιν. Τὸ μέλλον
book 10.45.2 δ’ ἀκρίτους τίκτει τελευτάς,
book 10.45.3 πᾶ τύχα βρίσει. Τὸ μὲν κάλλιστον, ἐσθλὸν
book 10.45.4 ἄνδρα πολλῶν ὑπ’ ἀνθρώπων πολυζήλωτον εἶμεν·
book 10.45.5 οἶδα καὶ πλούτου μεγάλαν δύνασιν,
book 10.1 ἃ καὶ τ[ὸ]ν ἀχρεῖον τί[θησ]ι
book 10.2 χρηστόν. Τί μακρὰν γ[λ]ῶ[σ]σαν ἰθύσας ἐλαύνω
book 10.3 ἐκτὸς ὁδοῦ; Πέφαται θνατοῖσι νίκας
book 10.4 [ὕστε]ρον εὐφροσύνα,
book 10.5 αὐλῶν [---]
book 10.55 μειγν[υ-----]
book 10 χρή τιν[-----]
book 11.1 Νίκα γλυκύδωρε, [--]
book 11.2 σοὶ πατ[ὴρ ----]
book 11.3 ὑψίζυ[γος --]
book 11.4 ἐν πολυχρύσῳ 〈τ’〉 Ὀλύμπῳ
book 11.5.1 Ζηνὶ παρισταμένα
book 11.5.2 κρίνεις τέλος ἀθανάτοι-
book 11.5.3 σίν τε καὶ θνατοῖς ἀρετᾶς·
book 11.5.4 ἔλλαθι, [βαθυ]πλοκάμου
book 11.5.5 κούρα Σ[τυγὸς ὀρ]θοδίκου· σέθεν δ’ ἕκατι
book 11.10.1 καὶ νῦ[ν Μετ]απόντιον εὐγυί-
book 11.10.2 ων κ[ατέ]χουσι νέων
book 11.10.3 κῶμοί τε καὶ εὐφροσύναι θεότιμον ἄστυ·
book 11.10.4 ὑμνεῦσι δὲ Πυθιόνι-
book 11 κον παῖδα θαητ[ὸ]ν Φαΐσκου.
book 11.15.1 Ἵλεῴ [ν]ιν ὁ Δα[λ]ογενὴς υἱ-
book 11.15.2 ὸς βαθυζώνο[ιο] Λατοῦς
book 11.15.3 δέκτ[ο] βλεφ[άρῳ]· πολέες
book 11.15.4 δ’ ἀμφ’ Ἀλεξ[ίδα]μον ἀνθέων
book 11.15.5 ἐν πεδίῳ στέφανοι
book 11.20.1 Κίρρας ἔπεσον κρατερᾶς
book 11.20.2 ἦρα παννίκοι〈ο〉 πάλας·
book 11.20.3 οὐκ ε[ἶ]δέ νιν ἀέλιος
book 11.20.4 κείνῳ γε σὺν ἄματι πρὸς γαίᾳ πεσόντα.
book 11.20.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φάσω δὲ καὶ ἐν ζαθέοις ἀγ-
νοῦ Πέλοπος δαπέδοις
Ἀλφεὸν παρὰ καλλιρόαν, δίκας κέλευθον
εἰ μή τις ἀπέτραπεν ὀρ-
θᾶς, παγξένῳ χαίταν ἐλαίᾳ
γλαυκᾷ στεφανωσάμενον
πορτιτρόφον [....].΄ [.....]ραν θ’ ἱκέσθαι
[---]
παῖδ’ ἐν χθονὶ καλλιχόρῳ
ποικίλαις τέχναις πέλασσεν·
[ἀ]λλ’ ἢ θεὸς αἴτιος, ἢ [γ]νῶ-
μαι πολύπλαγκτοι βροτῶν
[ἄ]μερσαν ὑπέρτατον ἐκ χειρῶν γέρας.
Νῦν δ’ Ἄρτεμις ἀγροτέρα
χρυσαλάκατος λιπαρὰν
[Ἡμ]έρα τοξόκλυτος νίκαν ἔδωκε.
[Τ]ᾷ ποτ’ Ἀβαντιάδας [β]ω-
μὸν κατένασσε πολύλ-
λ[ι]στον εὔπεπλοί τε κοῦραι·
τὰς ἐξ ἐρατῶν ἐφόβησε〈ν〉
παγκρατὴς Ἥρα μελάθρων
Προίτου, παραπλῆγι φρένας
καρτερᾷ ζεύξας’ ἀνάγκᾳ·
παρθενίᾳ γὰρ ἔτι
ψυχᾷ κίον ἐς τέμενος
πορφυροζώνοιο θεᾶς·
φάσκον δὲ πολὺ σφέτερον
πλούτῳ προφέρειν πατέρα ξανθᾶς παρέδρου
σεμνοῦ Διὸς εὐρυβία. Ταῖ-
σιν δὲ χολωσαμένα
στήθεσσι παλίντροπον ἔμβαλεν νόημα·
φεῦγον δ’ ὄρος ἐς τανίφυλ-
λον σμερδαλέαν φωνὰν ἱεῖσαι,
Τιρύνθιον ἄστυ λιποῦσαι
καὶ θεοδμάτους ἀγυιάς.
Ἤδη γὰρ ἔτος δέκατον
θεοφιλὲς λιπόντες Ἄργος
ναῖον ἀδεισιβόαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαλκάσπιδες ἡμίθεοι
σὺν πολυζήλῳ βασιλεῖ.
Νεῖκος γὰρ ἀμαιμάκετον
βληχρᾶς ἀνέπαλτο κασιγνητοῖς ἀπ’ ἀρχᾶς
Προίτῳ τε καὶ Ἀκρισίῳ· λα-
ούς τε διχοστασίαις
ἤρειπον ἀμετροδίκοις μάχαις τε λυγραῖς.
Λίσσοντο δὲ παῖδας Ἄβαν-
τος γᾶν πολύκριθον λαχόντας
Τίρυνθα τὸν ὁπλότερον
κτίζειν, πρὶν ἐς ἀργαλέαν πεσεῖν ἀνάγκαν·
Ζεύς τ’ ἔθελεν Κρονίδας
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέος
παῦσαι στυγερῶν ἀχέων. Τεῖ-
χος δὲ Κύκλωπες κάμον
ἐλθόντες ὑπερφίαλοι κλεινᾷ π[όλ]ει
κάλλιστον, ἵν’ ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργος ἥρωες περικλειτοὶ λιπόντ[ες.]
Ἔνθεν ἀπεσσύμεναι Προί-
του κυανοπλόκαμοι
φεῦγον ἄδματοι θύγατρες.
Τὸν δ’ εἷλεν ἄχος κραδίαν, ξεί-
να τέ νιν πλᾶξεν μέριμνα·
δοίαξε δὲ φάσγανον ἄμ-
φακες ἐν στέρνοισι πᾶξαι.
Ἀλλά νιν αἰχμοφόροι
μύθοισί τε μειλιχίοις
καὶ βίᾳ χειρῶν κάτεχον.
Τρισκαίδεκα μὲν τελέους
μῆνας κατὰ δάσκιον ἠλύκταζον ὕλαν
φεῦγόν τε κατ’ Ἀρκαδίαν μη-
λοτρόφον· ἀλλ’ ὅτε δὴ
Λοῦσον ποτὶ καλλιρόαν πατὴρ ἵκανεν,
ἔνθεν χρόα νιψάμενος
φοινικοκ[ραδέμνο]ιο Λατοῦς
κίκλῃ[σκε θύγατρ]α βοῶπιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χεῖρας ἀντείνων πρὸς αὐγὰς
book 11.2 ἱππώκεος ἀελίου,
book 11.3 τέκνα δυστάνοιο Λύσσας
book 11.4 πάρφρονος ἐξαγαγεῖν·
book 11.5 «Θύσω δέ τοι εἴκοσι βοῦς
book 11.105.1 ἄζυγας φοινικότριχας.»
book 11.105.2 Τοῦ δ’ ἔκλυ’ ἀριστοπάτρα
book 11.105.3 θηροσκόπος εὐχομένου· πιθοῦσα δ’ Ἥραν
book 11.105.4 παῦσεν καλυκοστεφάνους κού-
book 11.105.5 ρας μανιᾶν ἀθέων·
book 11.110.1 ταὶ δ’ αὐτίκα οἱ τέμενος βωμόν τε τεῦχον,
book 11.110.2 χραῖνόν τέ μιν αἵματι μή-
book 11.110.3 λων καὶ χοροὺς ἵσταν γυναικῶν.
book 11.110.4 Ἔνθεν καὶ ἀρηϊφίλοις
book 11.110.5 ἄνδρεσσιν 〈ἐσ〉 ἱπποτρόφον πόλιν Ἀχαιοῖς
book 11.115.1 ἕσπεο· σὺν δὲ τύχᾳ
book 11.115.2 ναίεις Μεταπόντιον, ὦ
book 11.115.3 χρυσέα δέσποινα λαῶν·
book 11.115.4 ἄλσος τέ τοι ἱμερόεν Κά-
book 11.115.5 σαν παρ’ εὔυδρον πρόγο-
book 11.120.1 νοι ἑσσάμενοι Πριάμοι’ ἐπεὶ χρόνῳ
book 11.120.2 βουλαῖσι θεῶν μακάρων
book 11.120.3 πέρσαν πόλιν εὐκτιμέναν
book 11.120.4 χαλκοθωράκων μετ’ Ἀτρειδᾶν. Δικαίας
book 11.120.5 ὅστις ἔχει φρένας, εὑρή-
book 11.125 σει σὺν ἅπαντι χρόνῳ
book 11 μυρίας ἀλκὰς Ἀχαιῶν.
book 12.1 Ὡσεὶ κυβερνήτας σοφός, ὑμνοάνασ-
book 12.2 ς’ εὔθυνε Κλειοῖ
book 12.3 νῦν φρένας ἁμετέρας,
book 12.4 εἰ δή ποτε καὶ πάρος· ἐς γὰρ ὀλβίαν
book 12.5.1 ξείνοισί με πότνια Νίκα
book 12.5.2 νᾶσον Αἰγίνας ἀπάρχει
book 12.5.3 ἐλθόντα κοσμῆσαι θεόδματον πόλιν
book 12.5.4 τάν τ’ ἐν Νεμέᾳ γυ 〈ι〉 αλκέα μουνοπάλαν
book 12.9-31 (desunt cola 9-31)
book 12.32.1 [ ].[ ]πιδ[ ]
book 12.32.2 ξεινου [....]νιοι αστ[––]
book 12.32.3

ἀμφικ[τιόν]ων ἐν ἀέθλοι[ς]
book 12.35 σὺν τρι[άκο]ντ᾽ ἀγλααῖσιν
book 12.1 νίκαις [ἐκ]ωμάσθησαν οἱ μὲν [Πυθόϊ,]
book 12.2 οἱ δ᾽ ἐν Πέλοπος ζαθέας
book 12.3 νάσου π[ι]τυώδεϊ δείρᾳ,
book 12.4 οἱ δὲ φοινικοστερόπα τεμένει Ζη-
book 12.40.1 νὸς Νεμεαίου·
book 12.40.2 [......] ταύτας καὶ ἐπ᾽ ἀργυροδίνα
book 12.40.3 []
book 12.40.4 [] Κλειω
book 12.40.5 [].΄..ρ[ ]
book 12.45.1 []
book 12.45.2 []δαν·
book 12.47-66 (desunt cola 47-66)
book 13 (desunt cola decem primae strophae)
book 13.11.1 «ὕβριος ὑψινόου παύ-
book 13.11.2 σει δίκας θνατοῖσι κραίνων·
book 13.11.3 οἵαν τινὰ δύσλοφον ὠμησ-
book 13.11.4 τᾷ λέοντι
book 13.15.1 Περσείδας ἐφίησι
book 13.15.2 χεῖρα παντοίαισι τέχναις·
book 13.15.3 [οὐ γὰρ] δαμασίμβροτος αἴθων
book 13.15.4 [χαλ]κὸς ἀπλάτου θέλει [χω-]
book 13.15.5 [ρε]ῖν διὰ σώματος, ἐ[γνάμ-]
book 13.20.1 φθη δ᾽ ὀπίσσω
book 13.20.2 [φάσγα]νον· ἦ ποτέ φαμι
book 13.20.3 [τᾷδε] περὶ στεφάνοισι
book 13.20.4 [παγκ]ρατίου πόνον Ἑλ[λά-]
book 13 [νεσσι]ν ἱδρώεντ᾽ ἔσεσθαι.»
book 13.25.1 [–– παρ]ὰ βωμὸν ἀριστάρχου Διὸς
book 13.25.2 [Νίκας] φ[ε]ρ[ε]κυδέος ἀν[θρώ-]
book 13.25.3 [πο]ισιν ἄ[ν]θεα
book 13.25.4 [χρυσέ]αν δόξαν πολύφαντον ἐν αἰ[ῶ-]
book 13.25.5 [νι] τρέφει παύροις βροτῶν
book 13.30.1 [α]ἰεί, καὶ ὅταν θανάτοιο
book 13.30.2 κυάνεον νέφος καλύψῃ, λείπεται
book 13.30.3 ἀθάνατον κλέος εὖ ἐρ-
book 13.30.4 χθέντος ἀσφαλεῖ σὺν αἴσᾳ.
book 13.30.5

Τῶν κα[ὶ σ]ὺ τυχὼν Νεμέᾳ, Λάμ-
πωνος υἱέ,
πανθαλέων στεφάνοισιν
[ἀνθ]έ[ων] χαίταν [ἐρ]εφθεὶς
[στείχεις] πόλιν ὑψιάγυιαν
[Αἰακοῦ, τε]ρψιμ[β]ρότων [–]
[– ]ἁβ[ροθρ]όων κώ-
μ[ων] πατρ[ῴα]ν
νᾶσο[ν], ὑπέρβι[ον] ἰσχὺν
παμμαχίαν ἄνα φαίνων.
Ὦ ποταμοῦ θύγατερ δι-
νᾶντος Αἴγιν’ ἠπιόφρον,
ἦ τοι μεγάλαν [Κρονίδας] ἔ-
δωκε τιμὰν
ἐν πάντεσσιν [––]
πυρσὸν ὣς Ἕλλ[ασι ––]
φαίνων· τό γε σὸν [κλέος αἰ]νεῖ
καί τις ὑψαυχὴς κό[ρα –]
[––]ραν πό-
δεσσι ταρφέως
ἠΰτε νεβρὸς ἀπεν[θὴς]
ἀνθεμόεντας ἐπ[’ ὄχθους]
κοῦφα σὺν ἀγχιδόμ[οις] θρῴσ-
κους’ ἀγακλειτα[ῖς ἑταίρα]ις·
ταὶ δὲ στεφανωσάμε[ναι φοιν]ικέων
ἀνθέων δόνακός τ’ ἐ[πιχω]ρί-
αν ἄθυρσιν
παρθένοι μέλπουσι τ[–]ς, ὦ δέσ-
ποινα παγξε[ίνου χθονός,]
[Ἐν]δαΐδα τε ῥοδό[παχυν,]
ἃ τὸ[ν ἰσ]ό[θε]ον ἔτι[κτεν Πηλέα]
καὶ Τελαμ[ῶ]να [κο]ρυ[στὰν]
Αἰακῷ μιχθεῖς’ ἐν εὐ[νᾷ·]
τῶν υἷας ἀερσιμάχ[ους,] τα-
χύν τ’ Ἀχιλλέα
εὐειδέος τ’ Ἐριβοίας
παῖδ’ ὑπέρθυμον βοά[σω]
Αἴαντα σακεσφόρον ἥ[ρω,]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅστ’ ἐπὶ πρύμνᾳ σταθ[εὶς] ἔσ-
χεν θρασυκάρδιον [ὁρ]μαί-
νοντα ν[ᾶας]
θεσπεσίῳ πυ[ρὶ ––]
Ἕκτορα χαλ[κεομίτρα]ν,
ὁππότε Πη[λεΐδας] τρα-
[χ]εῖαν [ἐν στήθεσσι μ]ᾶνιν
ὠρίνατ[ο, Δαρδανίδας] τ’ ἔ-
λυσεν ἄ[τας·]
οἳ πρὶν μὲν [πολύπυργο]ν
[Ἰ]λίου θαητὸν ἄστυ
οὐ λεῖπον, ἀτυζόμενοι [δὲ]
πτᾶσσον ὀξεῖαν μάχα[ν,] εὖτ’
ἐν πεδίῳ κλονέω[ν] μαί-
νοιτ’ Ἀχιλλεύς,
λαοφόνον δόρυ σείων·
ἀλλ’ ὅτε δὴ πολέμοι[ο]
λῆξεν ἰοστεφάνο[υ] Νη-
ρῇδος ἀτρόμητο[ς υἱός,]
ὥστ’ ἐν κυανανθέϊ θ[υμὸν ἀνέρων]
πόντῳ Βορέας ὑπὸ κύμα-
σιν δαΐζει,
νυκτὸς ἀντάσας ἀνατε[–] λῆ-
ξεν δὲ σὺν φαεσιμ[βρότῳ]
Ἀοῖ, στόρεσεν δέ τε πό[ντον]
οὐρία· Νότου δὲ κόλπ[ωσαν πνοᾷ]
ἱστίον ἁρπαλέως 〈τ’〉 ἄ-
ελπτον ἐξί[κ]οντο χέ[ρσον.]
Ὣς Τρῶες, ἐπ[εὶ] κλύον [αἰ]χμα-
τὰν Ἀχιλλέα
μίμνο[ντ’] ἐν κλισίῃσιν
εἵνεκ[ε]ν ξανθᾶς γυναικός,
[Β]ρ[ι]σηΐδος ἱμερογυίου,
θεοῖσιν ἄντειναν χέρας, φοι-
βὰν ἐσιδόντες ὑπαὶ χει-
μῶνος αἴγλαν·
πασσυδίᾳ δὲ λιπόντες
τείχεα Λαομέδοντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[ἐ]ς πεδίον κρατερὰν ἄ-
book 13.110.2 ϊξαν ὑ[σ]μίναν φέροντες·
book 13.110.3 ὦρσάν τ[ε] φόβον Δαναοῖς· ὤ-
book 13.110.4 τρυνε δ’ Ἄρης
book 13.110.5 [ε]ὐεγχής, Λυκίων τε
book 13.115.1 Λοξίας ἄναξ Ἀπόλλων·
book 13.115.2 ἶξόν τ’ ἐπὶ θῖνα θαλάσσας·
book 13.115.3 [ν]αυσὶ δ’ εὐπρύμνοις παρα〈ὶ〉 μάρ-
book 13.115.4 ναντ’, ἐναριζ[ομέν]ων [δ’ ἔ-]
book 13.115.5 [ρ]ευθε φώτων
book 13.120.1 [αἵμα]τι γαῖα μέλα[ινα]
book 13.120.2 [Ἑκτορ]έας ὑπὸ χει[ρός,]
book 13.120.3 [–]εγ’ ἡμιθέοις [–]
book 13.120.4 [–] ἰσοθέων δι’ ὁρμάν.
book 13.120.5 [––]ρονες, ἦ μεγάλαισιν ἐλπίσιν
book 13.125.1 [–]οντες ὑπερφ[ία]λον []
book 13.125.2 [–] αὐ[δὰ]ν
book 13.125.3 [Τρῶε]ς ἱππευταὶ κυανώπιδας ἐκ[–]
book 13.125.4 [––––] νέας
book 13.125.5 [–– εἰλα]πίνας τ’ ἐν
book 13.130.1 [–]ρεις ἕξειν θ[εόδ]ματον πόλιν.
book 13.130.2 [Μ]έλλον ἄρα πρότε[ρο]ν δι-
book 13.130.3 [ν]ᾶντα φοινίξει[ν Σκ]άμανδρ[ον,]
book 13.130.4 [θ]νᾴσκοντες ὑπ’ [Αἰα]κίδαις ἐ-
book 13.130.5 ρειψ[ι]πύ[ργοις·]
book 13.135.1 τῶν εἰ καὶ τ[––]
book 13.135.2 ἢ βαθυξύλῳ [––]
book 13.135.3 (desunt cola quinque)
book 13.1 οὐ γὰρ ἀλαμπέϊ νυκ[τὸς]
book 13.2 πασιφανὴς Ἀρετ[ὰ] κρυφ-
book 13.140.1 θεῖς’ ἀμαυρο[ῦται καλύπτρᾳ,]
book 13.140.2 ἀλλ’ ἔμπεδον ἀκ[αμάτᾳ] βρύ-
book 13.140.3 ουσα δόξᾳ
book 13.140.4 στρωφᾶται κατὰ γᾶν [τε]
book 13.140.5 καὶ πολύπλαγκτον θ[άλασσαν.]
book 13.145.1 Καὶ μὰν φερεκυδέα ν[ᾶσον]
book 13.145.2 Αἰακοῦ τιμᾷ, σὺν Εὐκλεί-
book 13.145.3 ᾳ δὲ φιλοστεφ[άνῳ] πό-
book 13.145.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λιν κυβερνᾷ,
Εὐνομία τε σαόφρων,
ἃ θαλίας τε λέλογχεν
ἄστεά τ’ εὐσεβέων ἀν-
δρῶν ἐν εἰ[ρ]ήνᾳ φυλάσσει.
Νίκαν {τ’} ἐρικυ[δέα] μέλπετ’, ὦ νέοι,
[Π]υθέα, μελέτα[ν τε] βροτωφ[ε-]
λέα Μενάνδρου,
τὰν ἐπ’ Ἀλφειοῦ τε ῥο[αῖς] θαμὰ δὴ τί-
μασεν ἁ χρυσάρματος
σεμνὰ μεγάθυμος Ἀθάνα,
μυρίων τ’ ἤδη μίτραισιν ἀνέρων
ἐστεφάνωσεν ἐθείρας
ἐν Πανελλάνων ἀέθλοις.
[Ε]ἰ μή τινα θερσι[ε]πὴς φθό-
νος βιᾶται,
αἰνείτω σοφὸν ἄνδρα
σὺν δίκᾳ. Βροτῶν δὲ μῶμος
πάντεσσι μέν ἐστιν ἐπ’ ἔργοι[ς·]
ἁ δ’ ἀλαθεία φιλεῖ νι-
κᾶν, ὅ τε πανδ[α]μάτω[ρ] χρό-
νος τὸ καλῶς
[ἐ]ργμένον αἰὲν ἀ[έξει·]
δυσμενέων δὲ μα[ταία]
[γλῶσς’] ἀϊδὴς μιν[ύθει]
(desunt cola decem)
ἐλπίδι θυμὸν ἰαίν[–]
τᾷ καὶ ἐγὼ πίσυνο[ς] φοι-
νικοκραδέμνοις [τε Μούσαις]
ὕμνων τινὰ τάνδε ν[–––]
φαίνω, ξενίαν τε [φιλά]γλα-
ον γεραίρω,
τὰν ἐμοὶ Λάμπων [––] βλη-
χρὰν ἐπαθρήσαις τ[–]
τὰν εἰκ ἐτύμως ἄρα Κλειὼ
πανθαλὴς ἐμαῖς ἐνέσταξ[εν φρασίν,]
τερψιεπεῖς νιν ἀ[ο]ιδαὶ
παντὶ καρύξοντι λα[ῷ.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὖ μὲν εἱμάρθαι παρὰ δαίμ[ονος ἀν]θρώ-
book 14.2 ποις ἄριστον·
book 14.3 [σ]υμφορὰ δ’ ἐσθλόν 〈τ’〉 ἀμαλδύ-
book 14.4 [νει β]αρύτλ[α]τος μολοῦσα
book 14.5.1 [καὶ τ]ὸν κακ[ὸν] ὑψιφανῆ
book 14.5.2 τεύ[χει κ]ατορθωθεῖσα· τι-
book 14.5.3 μὰν [δ’ ἄλ]λος ἀλλοίαν ἔχει·
book 14.5.4 [μυρί]αι δ’ ἀνδρῶν ἀρε[ταί,] μία δ’ ἐ[κ πα-]
book 14.5.5 [σᾶ]ν πρόκειται,
book 14.10.1 [ὃς τὰ] πὰρ χειρὸς κυβέρνα-
book 14.10.2 [σεν δι]καίαισι φρένεσσιν.
book 14.10.3 [Οὔτ’ ἐ]ν βαρυπενθέσιν ἁρ-
book 14.10.4 μό[ζει μ]άχαις φόρμιγγος ὀμ-
book 14 φὰ [καὶ λι]γυκλαγγεῖς χοροί,
book 14.15.1 [οὔτ’ ἐ]ν θαλίαις καναχὰ
book 14.15.2 [χαλκ]όκτυπος· ἀλλ’ ἐφ’ ἑκάστῳ
book 14.15.3 [καιρὸς] ἀνδρῶν ἔργματι κάλ-
book 14.15.4 λιστος· [ε]ὖ ἔρδοντα δὲ καὶ θεὸς ὀ[–]
book 14.15.5 Κλεοπτολέμῳ δὲ χάριν νῦν
book 14.20.1 χρὴ Ποσειδᾶνός τε Πετρ[αί-]
book 14.20.2 ου τέμενος κελαδῆσαι
book 14.20.3 Πυρρίχου τ’ εὔδοξον ἱππόνικ[ον υἱόν,]
book 14.20.4 ὃς φιλοξείνου τε καὶ ὀρθοδίκου [–]
book 14 (desunt reliqua)
book 15 (deest initium)
book 15.1.1 [].. [ ]
book 15.1.2 [] [ ]
book 15.1.3 [ ].[.]. [ ]
book 15.1.4 [ ]μνατοῖσιν ἄστρο[ ]
book 15.5 .αι.[ ]ϊκας Διωνύσου τε[ ]
book 15 μου.[ ].τι.
book 16.1 ‘Εστία χρυσόθρον’, εὐδό-
book 16.2 ξων Ἀγαθοκλεαδᾶν ἅτ’ ἀφνε[ῶν]
book 16.3 ἀνδρῶν μέγαν ὄλβον ἀέξεισ
book 16.4 ἡμένα μέσαις ἀγυιαῖσ
book 16.5.1 Πηνειὸν ἀμφ’ εὐώδεα Θεσσαλία[σ]
book 16.5.2 μηλοτρόφου ἐν γυάλοις·
book 16.5.3 κεῖθεν καὶ Ἀριστοτέλης
book 16.5.4

Κίρραν πρὸς εὐθαλέα μολὼν
book 16.5.5 δὶς στεφανώσατο Λαρί-
book 16.10.1 σα[ς ἀ]ναξίππου χάριν [ ]
book 16.10.2 κλυ[ ].ος
book 16 (desunt reliqua)

Eulogikon public reading copy · View original HTML at eulogikon.org